**SS 2024 Griech. Lektüre-Übung: Menander, *Dyskolos* TEXT 10 (Karanasiou)**

https://www.greek-language.gr/digitalResources/ancient_greek/library/browse.html?text_id=137&page=15

V. 466-486

**ΚΝ.** τί τῆς θύρας ἅπτει, τρισάθλι᾽, εἰπέ μοι,
ἄνθρωπε; **‹ΓΕ.›** μὴ δάκῃς. **(ΚΝ.)** ἐγώ σε νὴ Δία,
καὶ κατέδομαί γε ζῶντα. **(ΓΕ.)** μή, πρὸς ‹τῶν› θεῶν.
**(ΚΝ.)** ἐμοὶ γάρ ἐστι συμβόλαιον, ἀνόσιε,
καὶ σοί τι; **(ΓΕ.)** συμβόλαιον οὐδέν· τοιγαροῦν
προσελήλυθ᾽ οὐ χρέος σ᾽ ἀπαιτῶν οὐδ᾽ ἔχων
κλητῆρας, ἀλλ᾽ αἰτησόμενος λεβήτιον.
**(ΚΝ.)** λεβήτιον; **(ΓΕ.)** λεβήτιον. **‹ΚΝ.›** μαστιγία,
θύειν με βοῦς οἴει ποεῖν τε ταὔθ᾽ ἅπερ
ὑμεῖς ποεῖτε; **(ΓΕ.)** οὐδὲ κοχλίαν ἔγωγέ σε.
ἀλλ᾽ εὐτύχει, βέλτιστε. κόψαι τὴν θύραν
ἐκέλευσαν αἱ γυναῖκες αἰτῆσαί τε με.
ἐπόησα τοῦτ᾽· οὐκ ἔστι· πάλιν ἀπαγγελῶ
ἐλθὼν ἐκείναις. ὦ πολυτίμητοι θεοί,
ἔχις πολιὸς ἄνθρωπός ἐστιν οὑτοσί.
**(ΚΝ.)** ἀνδροφόνα θηρί᾽· εὐθὺς ὥσπερ πρὸς φίλον
κόπτουσιν. ἂν ἡμῶν προσιόντα τῇ θύρᾳ
λάβω τιν᾽, ἂν μὴ πᾶσι τοῖς ἐν τῷ τόπῳ
παράδειγμα ποιήσω, νομίζεθ᾽ ἕνα τινὰ
ὁρᾶν με τῶν πολλῶν. ὁ νῦν οὐκ οἶδ᾽ ὅπως
διευτύχηκεν οὗτος, ὅστις ἦν ποτε.